GREK 1001 (Fall 2011)

**BIBLICAL READINGS**
supplement to Shelmerdine 2nd edition
**Chapter 16**

In response to reports that in Corinth some deny the resurrection of Christ, Paul stresses the importance of belief in the resurrection.

12. εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; 13. εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς
ἐγήγερται· 14. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα [καὶ] τὸ κήρυγμα ἡμῶν, κενὴ
καὶ ἡ πίστις ὑμῶν, 15. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι
ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα
νεκροὶ οὐκ ἐγείρονται. 16. εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται·
17. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις
ὑμῶν. 18. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. 19. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν
Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. 20. νυνὶ δὲ
Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων. 21. ἐπειδὴ γὰρ δι᾽
ἀνθρώπου θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν· 22. ὥσπερ γὰρ ἐν τῷ
Ἀδὰμ πάντες ἀποθνῄσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζῳοποιηθήσονται.

(Πρὸς Κορινθίους α´ 15.12-22)

ἁμαρτία –ας ἡ sin
ἀνάστασις –εως ἡ resurrection
ἀπαρχή -ῆς ἡ first-offering
ἀπώλοντο (3rd pl aor.) died
ἄρα = οὖν
ἐγείρω, ἐγερῶ, ἤγειρα, --, ἐγήργημαι, ἠγέρθην
raise, resurrect
ἐγήγερται "has been raised"
εἴπερ = εἰ
ἐλεεινός –ή -όν pitiful
ἐπειδὴ since
ζωή -ῆς ἡ life
ζῳοποιέω, -ποιήσω, -εποίησα, -πεποίηκα,
-πεποίημαι, -εποιήθην make alive
ἠλπικότες (nom. pl.) "[those] who had hope"
ἡμῶν (gen. pl.) "of us"
κενός -ή -όν empty
κήρυγμα –ατος τό proclamation, message
κηρύσσω proclaim, preach
κεκοιμημένων (perf.), κοιμηθέντες (aor.)
"those who have fallen asleep"
μαρτυρέω testify
μάταιος –α –ον worthless
μόνον only
νεκρός –ά –όν dead
νυνὶ now
ὅτι that, because
οὕτως this way
πάντες (nom. pl.) πάντων (gen. pl.) all
πῶς how
πίστις –εως ἡ faith
ταύτῃ (fem. dat. sg.) this
τινες (nom. pl.) some
ὑμῶν (gen. pl.) ὑμῖν (dat. pl.) y'all
ψευδόμαρτυς -υρος ὁ false witness
ὥσπερ just as